λυποῦντες ἅπερ ἐγὼ ὑμᾶς ἐλύπουν, ἐὰν ὑμῖν δοκῶσιν ἢ χρημά-
των ἢ ἄλλου του πρότερον ἐπιμελεῖσθαι ἢ ἀρετῆς· καὶ ἐὰν δο- 6
κῶσί τι εἶναι, μηδὲν ὄντες, ὀνειδίζετε αὐτοῖς, ὥσπερ ἐγὼ ὑμῖν,
ὅτι οὐκ ἐπιμελοῦνται ὧν δεῖ, καὶ οἴονταί τι εἶναι, ὄντες οὐδενὸς ἄ-
ξιοι. Καὶ ἐὰν ταῦτα ποιῆτε, δίκαια πεπονθὼς ἐγὼ ἔσομαι ὑφ' ὑμῶν
αὐτός τε καὶ οἱ υἱεῖς. Ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι, ἐμοὶ μὲν,
ἀποθανουμένῳ, ὑμῖν δὲ, βιωσομένοις. Ὁπότεροι δὲ ἡμῶν ἔρ-
χονται ἐπὶ ἄμεινον πρᾶγμα, ἄδηλον παντὶ πλὴν ἢ τῷ Θεῷ.

## Γ΄. ΚΡΙΤΩΝ, Η ΠΕΡΙ ΔΟΞΗΣ ΑΛΗΘΟΥΣ ΚΑΙ ΔΙΚΑΙΟΥ (*).

### Ἠθικός.

α. Τί τηνικάδε ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ πρῲ ἔτι ἐστί; —
Κρ. Πάνυ μὲν οὖν. — Σωκ. Πηνίκα μάλιστα; — Κρ. Ὄρ-
θρος βαθύς. — Σωκ. Θαυμάζω ὅπως ἠθέλησέ σοι ὁ τοῦ δεσμω- 2
τηρίου φύλαξ ὑπακοῦσαι. — Κρ. Ξυνήθης ἤδη μοί ἐστιν, ὦ
Σώκρατες, διὰ τὸ πολλάκις δεῦρο φοιτᾷν· καί τι καὶ εὐηργέτη-
ται ὑπ' ἐμοῦ. — Σωκ. Ἄρτι δὲ ἥκεις, ἢ πάλαι; — Κρ. Ἐ- 3
πιεικῶς πάλαι. — Σωκ. Εἶτα πῶς οὐκ εὐθὺς ἐπήγειράς με,
ἀλλὰ σιγῇ παρακάθησαι; — Κρ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρα-
τες, οὐδ' ἂν αὐτὸς ἤθελον ἐν τοσαύτῃ ἀγρυπνίᾳ καὶ λύπῃ εἶ-
ναι. Ἀλλὰ καὶ σοῦ πάλαι θαυμάζω, αἰσθανόμενος ὡς ἡδέως 4
καθεύδεις· καὶ ἐπίτηδές σε οὐκ ἤγειρον, ἵνα ὡς ἥδιστα διάγῃς.
Καὶ πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ εὐδαι-
μόνισα τοῦ τρόπου, πολὺ δὲ μάλιστα ἐν τῇ νῦν παρεστώσῃ
ξυμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πρᾴως φέρεις. — Σωκ. Καὶ 5
γὰρ ἂν, ὦ Κρίτων, πλημμελὲς εἴη ἀγανακτεῖν τηλικοῦτον ὄν-
τα, εἰ δεῖ ἤδη τελευτᾷν. — Κρ. Καὶ ἄλλοι, ὦ Σώκρατες, τη-
λικοῦτοι ἐν τοιαύταις ξυμφοραῖς ἁλίσκονται· ἀλλ' οὐδὲν αὐτοῖς

---

τες αὐτοὺς ὁμοίως, καθὼς ἐγὼ ὑμᾶς ἐλύπουν.

(*) Κρίτων μὲν ἐπιγράφεται ὁ διάλογος οὗτος· ὅτι Σωκράτη τίθησι Κρίτωνα διαλεγόμενον· ἠθικὸς δὲ ὡς περὶ δόξης ἀληθοῦς καὶ δικαίου διαλαμβάνων, ἅπερ ἠθῶν ἐστι διδασκαλία. Ἐπαινεῖται δὲ παρὰ πολὺ ὑπὸ Κλήμεντος Ἀλεξανδρέως ἐν Στρωματ. Ε΄. καὶ παρ' ἄλλοις πολλοῖς.

α. Πάνυ μὲν οὖν) Πρωΐ ἐστι δηλ.

— Πηνίκα μάλιστα) Τὸ παρ' ἡμῖν καὶ Ὡσὰν τίς ὥρα ἐστί;

— Ὄρθρος) Φρύνιχός φησιν, ὅτι οἱ παλαιοὶ ὄρθρον ἔλεγον τὸ πρὸ ἀρχομένης ἡμέρας, ἐν ᾧ ἔτι λύχνῳ δύναταί τις χρῆσθαι.

2. Ὁ τοῦ δεσμωτ. φύλ.) Ὃν ἐν Φαίδωνι Θυρωρὸν καλεῖ, γ΄.

3. Ἐπιεικῶς πάλ.) Ἱκανῶς δηλ. πάλαι.

— Εἶναι) Σὲ δηλ.

4. Σοῦ πάλαι θαυμ.) Πρὸς γενικὴν· ἐν γὰρ εἴδει εἰρωνείας λέγει ταῦτα· εἰρωνευομένοις γὰρ μετὰ γενικῆς τὸ θαυμάζω ἥκει εἰς χρῆσιν.

— Τοῦ τρόπου) Ἕνεκα δηλ. Σημειωθήτω δὲ ὅτι λέγεται Εὐδαιμονίζω σοῦ τὸ δεῖν. κτητικῶς· καὶ Εὐδαιμονίζω σε τοῦ δεῖν. κατ' ἔλλειψιν τοῦ ἕνεκα.

5. Τηλικοῦτ.) Τὴν ἡλικίαν, γέροντα δηλ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ … ΙΩΑΝΝΙΝΑ 2006

ἐπιλύεται ἡ ἡλικία τὸ μὴ οὐχὶ ἀγανακτεῖν τῇ παρούσῃ τύχῃ.
6 — Σωκ. Ἔστι ταῦτα. Ἀλλὰ τί δὴ οὕτω πρωῒ ἀφῖξαι; — Κρ.
Ἀγγελίαν, ὦ Σώκρατες, φέρων χαλεπήν, οὐ σοί, ὡς ἐμοὶ φαίνεται, ἀλλ' ἐμοὶ καὶ τοῖς σοῖς ἐπιτηδείοις πᾶσι καὶ χαλεπὴν καὶ βαρεῖαν· ἣν ἐγώ, ὡς ἐμοὶ δοκῶ, ἐν τοῖς βαρύτατα ἂν ἐ-
7 νέγκαιμι. — Σωκ. Τίνα ταύτην; ἢ τὸ πλοῖον ἀφῖκται ἐκ Δήλου, οὗ δεῖ ἀφικομένου τεθνάναι με; — Κρ. Οὔ τοι δὴ ἀφῖκται, ἀλλὰ δοκεῖ μέν μοι ἥξειν τήμερον, ἐξ ὧν ἀπαγγέλλουσιν
8 ἥκοντές τινες ἀπὸ Σουνίου, καὶ καταλιπόντες ἐκεῖ αὐτό. Δῆλον οὖν ἐκ τούτων τῶν ἀγγέλων ὅτι ἥξει τήμερον· καὶ ἀνάγκη δὴ εἰς αὔριον ἔσται, ὦ Σώκρατες, τὸν βίον σε τελευτᾶν.

β'. Σωκ. Ἀλλ', ὦ Κρίτων, τύχῃ ἀγαθῇ· εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ ἔστω. Οὐ μέν τοι εἶμαι ἥξειν αὐτὸ τήμερον. —
2 Κρ. Πόθεν τοῦτο τεκμαίρῃ; — Σωκ. Ἐγώ σοι ἐρῶ. Τῇ γάρ που ὑστεραίᾳ δεῖ με ἀποθνήσκειν, ἢ ᾗ ἂν ἔλθοι τὸ πλοῖον. —
3 Κρ. Φασί γέ τοι δὴ οἱ τούτων κύριοι. — Σωκ. Οὐ τοίνυν τῆς ἐπιούσης ἡμέρας οἶμαι αὐτὸ ἥξειν, ἀλλὰ τῆς ἑτέρας. Τεκμαίρομαι δὲ ἔκ τινος ἐνυπνίου, ὃ ἑώρακα ὀλίγον πρότερον ταύτης τῆς νυκτός· καὶ κινδυνεύεις ἐν καιρῷ τινι οὐκ ἐγεῖραί με. —
4 Κρ. Ἦν δὲ δὴ τί τὸ ἐνύπνιον; — Σωκ. Ἐδόκει τίς μοι γυνὴ προσελθοῦσα, καλὴ καὶ εὐειδής, λευκὰ ἱμάτια ἔχουσα, καλέσαι με καὶ εἰπεῖν· ὦ Σώκρατες, « Ἤματί κεν τριτάτῳ Φθίην ἐρί-

— Τὸ μὴ οὐχὶ) Τὸ Μὴ οὐχὶ ἀντὶ μιᾶς ἀρνήσεως λαμβάνεται Ἀττικῶς· κατ' ἐπικράτειαν δηλονότι τοῦ Μή.

— Τῇ παρούσῃ τύχ.) Ἐπὶ τῇ παρούσῃ τύχῃ.

— Ἔστι ταῦτα) Ἀντὶ Εἶεν· ἢ γοῦν. Ταῦτα μὲν δὴ οὕτως ἐχέτω· συγκαταθετικῶς δηλ.

6. Ἐν τοῖς βαρύτατα) Ἐννοεῖται, Ἐνεγκοῦσιν ἢ φέρουσιν· οὕτω καὶ Θουκυδ. Ζ'. ά. Ἐν τοῖς χαλεπώτατα διῆγον, λέγει ἐννοουμένου τοῦ, διάγουσι.

7. Ἐκ Δήλου) Θησεὺς σωθεὶς ἐκ Κρήτης, ηὔξατο τῷ Ἀπόλλωνι ἑκάστου ἔτους θεωρίαν ἀπάξειν εἰς Δῆλον. Ταύτην τὴν θεωρίαν κατ' ἐνιαυτὸν ἐξ ἐκείνου ἔπεμπον οἱ Ἀθηναῖοι· θῦσαι καὶ θεραπεῦσαι τὸν θεόν, θυσίαις τε καὶ ἀγῶσιν· οἱ δὲ πεμπόμενοι θῦσαι καὶ θεραπεῦσαι τὸν θεὸν θεωροὶ ἐλέγοντο, καὶ ἡ ναῦς θεωρίς· ἦν δὲ νόμος ἀρχομένης τῆς θεωρίας, ἐν τῷ χρόνῳ τούτῳ καθαρεύειν τὴν πόλιν, καὶ δημοσίᾳ μηδένα ἀποκτιννύναι, πρὶν ἂν εἰς Δῆλον ἀφίκηται τὸ πλοῖον, κἀκεῖθεν εἰς Ἀθήνας· ἀρχὴ δ' ἐστι τῆς θεωρίας, ἐπειδὰν ὁ ἱερεύς, θεωρὸς καὶ αὐτὸς καλούμενος, στέψῃ τὴν πρύμναν τοῦ Ἀπόλλωνος. Οὕτως οὖν καὶ Σωκράτης, ἐπειδὴ ἔτυχε τῇ προτεραίᾳ τῆς δίκης τὴν ἀρχὴν τῆς θεωρίας γενέσθαι, πολὺν χρόνον ἦν ἐν τῷ δεσμωτηρίῳ, μέχρι δηλονότι τὸ πλοῖον ἐπέστρεψεν ἐκ Δήλου. Πλατ. Φαίδ. ά.

β'. Τύχῃ ἀγαθῇ) Ἀντὶ Γενέσθω· ἢ τοῦ παρ' ἡμῖν· ἐν ὥραις καλαῖς.

2. Οἱ τούτων κύρ.) Ἐννοεῖ τοὺς ἕνδεκα· ὡς ἐν Ἀπολογ. κζ'. 6.

3. Τῆς ἐπιούσ.) Θωμᾶς Μάγιστρ. Τῇ ἐπιούσῃ ἐρεῖς, οὐ προσθεὶς τό, Ἡμέρα· τῆς ἐπιούσης δὲ ἡμέρας.

— Ὀλίγον πρότ.) Λέγεται δὲ Ὀλίγῳ πρότερον, καὶ ὀλίγον πρότερον· τὸ μέν, κατ' Ἔλλειψιν τῆς Ἐν, τὸ δέ, τῆς Κατά.

4. Ἦν δὲ δὴ τί τὸ ἐν.) Τί δὲ ἦν τὸ ἐνύπνιον· ὁ Δὲ μεταβατικός, ὁ δὲ Δὴ ἐμφαντικός.

— Ἐδόκει) Ἐπὶ ὀνείρατος καὶ Ἕλληνες χρῶνται τῷ Δοκεῖν.

— Ἤματί κεν.) Ὅμηρ. Ἰλ. Ι. στίχ. 363.

ΙΩΑΝΝΙΝΑ 2006

ἔωλον ἵκοιο. — Κρ. Ὡς ἄτοπον τὸ ἐνύπνιον, ὦ Σώκρατες; — 5
Σωκ. Ἐναργὲς μὲν οὖν, ὥς γ' ἐμοὶ δοκεῖ, ὦ Κρίτων.

γ'. Κρ. Λίαν γε ὡς ἔοικεν. Ἀλλ', ὦ δαιμόνιε Σώκρατες, ἔτι
καὶ νῦν ἐμοὶ πείθου, καὶ σώθητι. Ὡς ἐμοί, ἐὰν σὺ ἀποθάνῃς,
οὐδεμία ξυμφορά ἐστιν ἄλλη, ἀλλὰ χωρὶς μὲν σοῦ ἐστερῆ-
σθαι, τοιούτου ἐπιτηδείου οἷον ἐγὼ οὐδένα μή ποτε εὑρήσω,
ἔτι δὲ καὶ πολλοῖς δόξω, οἳ ἐμὲ καὶ σὲ μὴ σαφῶς ἴσασιν, ὡς
οἷός τ' ὢν σε σώζειν, εἰ ἤθελον ἀναλίσκειν χρήματα, ἀμελῆ-
σαι. Καίτοι τίς ἂν αἰσχίων εἴη ταύτης δόξα, ἢ δοκεῖν χρή- 2
ματα περὶ πλείονος ποιεῖσθαι ἢ φίλους; οὐ γὰρ πείσονται οἱ
πολλοί, ὡς σὺ αὐτὸς οὐκ ἠθέλησας ἀπιέναι ἐνθένδε, ἡμῶν προ-
θυμουμένων. — Σωκ. Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε Κρίτων, οὕτω 3
τῆς τῶν πολλῶν δόξης μέλει; οἱ γὰρ ἐπιεικέστατοι, ὧν μᾶλλον
ἄξιον φροντίζειν, ἡγήσονται αὐτὰ οὕτω πεπρᾶχθαι ὥσπερ ἂν
πραχθῇ. — Κρ. Ἀλλ' ὁρᾷς δὴ ὅτι ἀνάγκη, ὦ Σώκρατες, καὶ 4
τῆς τῶν πολλῶν δόξης μέλειν. Αὐτὰ δὲ δῆλα τὰ παρόντα
νυνί, ὅτι οἷοί τ' εἰσὶν οἱ πολλοὶ οὐ τὰ σμικρότατα τῶν κακῶν
ἐξεργάζεσθαι, ἀλλὰ σχεδὸν τὰ μέγιστα, ἐάν τις ἐν αὐτοῖς δια-
βεβλημένος ᾖ. — Σωκ. Εἰ γὰρ ὤφελον, ὦ Κρίτων, οἷοί τε 5
εἶναι οἱ πολλοὶ τὰ μέγιστα κακὰ ἐξεργάζεσθαι, ἵνα οἷοί τε ἦ-
σαν καὶ ἀγαθὰ τὰ μέγιστα· καὶ καλῶς ἂν εἶχε· νῦν δὲ οὐδέ-
τερα οἷοί τε. Οὔτε γὰρ φρόνιμον οὔτε ἄφρονα δυνατοὶ ποιῆσαι· 6
ποιοῦσι δὲ τοῦτο ὅ,τι ἂν τύχωσι.

δ'. Κρ. Ταῦτα μὲν δὴ οὕτως ἐχέτω. Τάδε δέ, ὦ Σώκρα-
τες, εἰπέ μοι· ἆρά γε μὴ ἐμοῦ προμηθῇ καὶ τῶν ἄλλων ἐπι- 2
τηδείων, μή, ἐὰν σὺ ἐνθένδε ἐξέλθῃς, οἱ συκοφάνται ἡμῖν πράγ-
ματα παρέχωσιν, ὡς σὲ ἐνθένδε ἐκκλέψασι, καὶ ἀναγκασθῶ-
μεν ἢ καὶ πᾶσαν τὴν οὐσίαν ἀποβαλεῖν, ἢ συχνὰ χρήματα,
ἢ καὶ ἄλλο τι πρὸς τούτοις παθεῖν; εἰ γάρ τι τοιοῦτον φοβῇ,
ἔασον αὐτὸ χαίρειν. Ἡμεῖς γάρ που δίκαιοί ἐσμεν, σώσαν- 3
τές σε, κινδυνεύειν τοῦτον τὸν κίνδυνον, καί, ἐὰν δέῃ, ἔτι τού-
του μείζω· ἀλλ' ἐμοὶ πείθου, καὶ μὴ ἄλλως ποίει. — Σωκ.

---

5. Ἐναργὲς) Δουκ. Ἐνύπν. φησίν· ὅτι ὁ ὄνειρος ἦν ἐναργὴς οὕτως ὥστε μηδὲν ἀπολείπεσθαι τῆς ἀληθείας.

γ'. Ἄλλη) Αὕτη δηλ. μόνη καὶ μεγίστη ἐμοὶ ξυμφορά ἐστιν, οὐδεμίαν δηλ. ἐγὼ λογίζομαι ἄλλην συμφορὰν μείζω ταύτης, κατ' ἐμὲ κρίνων.

— Χωρὶς . . . ἐστερῆσθ.) Χωρὶς δηλ. τούτου· ὅτι στερήσομαί σου.

2. Περὶ πλείονος ποι.) Προτιμᾷν.

4. Αὐτὰ δὲ δῆλα) Αὐτὰ δηλ. τὰ παρόντα δηλοῦσιν ὅτι κτλ.

— Ἐν αὐτοῖς) Τοῖς πολλοῖς δηλ.

5. Εἰ γὰρ ὤφελον) Ὁ Εἰ εὐκτικός· ἀντὶ Εἴθε.

— Οἷοί τε) Εἰσὶ δηλ.

δ'. 2. Ἔασον αὐτὸ χαίρειν) Ἰδίωμα· ἀντὶ τοῦ καθ' ἡμᾶς, ἄφες αὐτὸ ἵνα χαθῇ.

3. Δίκαιοι ἐσμὲν) Ἀττικισμὸς ἀντὶ δίκαιόν ἐστιν, ἡμᾶς σώσαντας κινδυνεύειν.

4 Καὶ ταῦτα προμηθοῦμαι, ὦ Κρίτων, καὶ ἄλλα πολλά. — Κρ.
Μὴ τοίνυν ταῦτα φοβοῦ· καὶ γὰρ οὐδὲ πολὺ τἀργύριόν ἐστιν,
ὃ θέλουσι λαβόντες τινὲς σῶσαί σε καὶ ἐξαγαγεῖν ἐνθένδε. Ἔ-
πειτα οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας, ὡς εὐτελεῖς, καὶ οὐ-
5 δὲν ἂν δέοι ἐπ' αὐτοὺς πολλοῦ ἀργυρίου; Σοὶ δὲ ὑπάρχει μὲν
τὰ ἐμὰ χρήματα, ὡς ἐγῷμαι ἱκανά· ἔπειτα καὶ εἴτι ἐμοῦ κη-
δόμενος οὐκ οἴει δεῖν ἀναλίσκειν τὰ ἐμὰ, ξένοι οὗτοι ἐνθάδε
ἕτοιμοι ἀναλίσκειν. Εἷς δὲ καὶ κεκόμικεν ἐπ' αὐτὸ τοῦτο ἀρ-
γύριον ἱκανὸν, Σιμμίας ὁ Θηβαῖος· ἕτοιμος δὲ καὶ Κέβης καὶ
6 ἄλλοι πολλοὶ πάνυ. Ὥςτε, ὅπερ λέγω, μήτε ταῦτα φοβού-
μενος ἀποκάμῃς σῶσαι σαυτὸν, μήτε ὃ ἔλεγες ἐν τῷ δικαστη-
ρίῳ, δυσχερές σοι γενέσθω, ὅτι οὐκ ἂν ἔχοις ἐξελθὼν, ὅ,τι χρῷο
σεαυτῷ· πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοσε ὅποι ἂν ἀφίκῃ, ἀγαπή-
7 σουσί σε· ἂν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ
ξένοι, οἵ σε περὶ πολλοῦ ποιήσονται, καὶ ἀσφάλειάν σοι πα-
ρέξονται, ὥςτε σε μηδένα λυπεῖν τῶν κατὰ Θετταλίαν.

έ. Ἔτι δὲ, ὦ Σώκρατες, οὐδὲ δίκαιόν μοι δοκεῖς ἐπιχειρεῖν
πρᾶγμα, σαυτὸν προδοῦναι, ἐξὸν σωθῆναι, καὶ τοιαῦτα σπεύ-
δεις περὶ σαυτὸν γενέσθαι ἅπερ ἂν καὶ οἱ ἐχθροί σου σπεύσαιέν
2 τε καὶ ἔσπευσαν, σὲ διαφθεῖραι βουλόμενοι. Πρὸς δὲ τούτοις,
καὶ τοὺς υἱεῖς τοὺς σαυτοῦ ἔμοιγε δοκεῖς προδιδόναι, οὕς σοι
ἐξὸν καὶ ἐκθρέψαι καὶ ἐκπαιδεῦσαι οἰχήσῃ καταλιπὼν, καὶ τὸ
3 σὸν μέρος, ὅ,τι ἂν τύχωσι, τοῦτο πράξουσι. Τεύξονται δὲ, ὡς τὸ
εἰκός, τοιούτων οἷάπερ εἴωθε γίγνεσθαι ἐν ταῖς ὀρφανίαις περὶ
τοὺς ὀρφανούς. Ἢ γὰρ οὐ χρὴν ποιεῖσθαι παῖδας, ἢ ξυν-
διαταλαιπωρεῖν καὶ τρέφοντα καὶ παιδεύοντα· σὺ δέ μοι δοκεῖς
4 ῥᾳθυμότατα αἱρεῖσθαι. Χρὴ δὲ, ἅπερ ἂν ἀνὴρ ἀγαθὸς καὶ ἀν-
δρεῖος ἕλοιτο, ταῦτα αἱρεῖσθαι, φάσκοντά γε δὴ ἀρετῆς διὰ
5 παντὸς τοῦ βίου ἐπιμελεῖσθαι. Ὡς ἔγωγε καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἡ-
μῶν τῶν σῶν ἐπιτηδείων αἰσχύνομαι, μὴ δόξῃ ἅπαν τὸ πρᾶγμα
τὸ περὶ σὲ ἀνανδρίᾳ τινὶ τῇ ἡμετέρᾳ πεπρᾶχθαι· καὶ ἡ εἴ-
σοδος τῆς δίκης εἰς τὸ δικαστήριον ὡς εἰσῆλθες, ἐξὸν μὴ εἰσελ-
θεῖν, καὶ αὐτὸς ὁ ἀγὼν τῆς δίκης ὡς ἐγένετο, καὶ τὸ τελευταῖον

---

5. Σιμμίας) Ἐπεξήγησις τοῦ Εἷς.
7. Περὶ πολλοῦ ποιήσ.) Πολὺ περιποιήσονταί σοι.
έ. 2. Τὸ σὸν μέρος) Τὸ παρ' ἡμῖν ὅσον ἀπὸ μέρους σου.
3. Ἢ ξυνδιαταλαιπωρεῖν) Ἢ χρὴ ποιήσαντα παῖδας, ξυνδιαταλαιπωρεῖν.
4. Φάσκοντά γε δή) Καὶ μάλιστα σὺ ὁ λέγων ὅτι ἐπεμελήθης διὰ βίου ἀρετῆς.
5. Εἴσοδος τῆς δίκης) Εἰς τὸ δικαστήριόν ἐστιν, ὅταν ὁ ὑπαίτιος ἄγεται εἰς τὸ δικαστήριον ἀπολογησόμενος.
— Καὶ τὸ τελευταῖον) Καὶ μὴ δόξῃ τὸ τελευταῖον δὴ τουτὶ, ὥσπερ κατάγελως τῆς πράξεως πεπρᾶχθαι, τὸ δοκεῖν δηλ. ἡμᾶς διαπεφευγέναι κακίᾳ τινὶ καὶ ἀνανδρίᾳ τῇ ἡμετέρᾳ.

δὴ τουτί, ὥσπερ κατάγελως τῆς πράξεως, κακίᾳ τινὶ καὶ ἀναν-
δρίᾳ τῇ ἡμετέρᾳ· διαπεφευγέναι ἡμᾶς δοκεῖν, οἵ τινές σε οὐ διεσώ-
σαμεν, οὐδὲ σὺ σαυτόν, οἷόν τε ὂν καὶ δυνατόν, εἴτι καὶ σμικρὸν ἡ-
μῶν ὄφελος ἦν. Ταῦτ' οὖν, ὦ Σώκρατες, ὅρα μὴ ἅμα τῷ κακῷ 5
καὶ αἰσχρὰ ᾖ σοί τε καὶ ἡμῖν· ἀλλὰ βουλεύου· μᾶλλον δὲ οὐδὲ
βουλεύεσθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι. Μία δὲ βουλή. Τῆς 6
γὰρ ἐπιούσης νυκτὸς πάντα ταῦτα δεῖ πεπρᾶχθαι. Εἰ δέ τι πε-
ριμενοῦμεν, ἀδύνατον καὶ οὐκέτι οἷόν τε. Ἀλλὰ παντὶ τρόπῳ, ὦ 7
Σώκρατες, πείθου μοι, καὶ μηδαμῶς ἄλλως ποίει.

ς'. Σωκ. Ὦ φίλε Κρίτων, ἡ προθυμία σου πολλοῦ ἀξία,
εἰ μετά τινος ὀρθότητος εἴη· εἰ δὲ μή, ὅσῳ μείζων, τοσούτῳ χα-
λεπωτέρα. Σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς, εἴτε ταῦτα πρακτέον εἴ- 2
τε μή· ὡς ἐγὼ οὐ μόνον νῦν, ἀλλὰ καὶ ἀεὶ τοιοῦτος, οἷος τῶν
ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ, ὃς ἄν μοι λογιζομένῳ βέλ-
τιστος φαίνηται. Τοὺς δὴ λόγους οὓς ἐν τῷ ἔμπροσθεν ἔλεγον, οὐ 3
δύναμαι νῦν ἐκβαλεῖν, ἐπειδή μοι ἥδε ἡ τύχη γέγονεν· ἀλλὰ σχε-
δόν τι ὅμοιοι φαίνονταί μοι, καὶ τοὺς αὐτοὺς πρεσβεύω καὶ τιμῶ,
οὕσπερ καὶ πρότερον. Ὧν ἐὰν μὴ βελτίω ἔχωμεν λέγειν ἐν τῷ 4
παρόντι, εὖ ἴσθι ὅτι οὐ μή σοι ξυγχωρήσω, οὐδ' ἂν πλείω τῶν
νῦν παρόντων ἡ τῶν πολλῶν δύναμις, ὥσπερ παῖδας ἡμᾶς μορ-
μολύττηται, δεσμοὺς καὶ θανάτους ἐπιπέμπουσα, καὶ χρημά-
των ἀφαιρέσεις. — Κρ. Πῶς οὖν ἂν μετριώτατα σκοποίμεθα αὐ- 5
τά; — Σωκ. Εἰ πρῶτον μὲν τοῦτον τὸν λόγον ἀναλάβοιμεν, ὃν
σὺ λέγεις περὶ τῶν δοξῶν, πότερον καλῶς ἐλέγετο ἑκάστοτε,
ἢ οὔ, ὅτι ταῖς μὲν δεῖ τῶν δοξῶν προσέχειν τὸν νοῦν, ταῖς δὲ οὔ·

---

— Οἷόν τε ὂν καὶ δυνατόν) Ἐκ παραλλήλου ταὐτοδύναμα γὰρ τὸ Οἷόν τε ὄν, καὶ δυνατόν.

5. βουλεύεσθαι) Ἀλλ' ἔστιν ὥρα τετελεσμένην εἶναι τὴν βουλήν τοιοῦτό τι δηλοῖ ὁ παρακείμενος· ἐντελῆ δηλονότι ἐνεστῶτα, καὶ ἄρτι παρῳχημένον· καίτοι ἐν τελικῷ ἀπαρεμφάτῳ μὴ ἐξὸν παρακειμένῳ χρῆσθαι· ἀλλ' οὖν ἡ ἀνάγκη τοῦ σημαινομένου, καὶ τοῦ λόγου καὶ τοῦτο εἰσήγαγε.

6. Μία δὲ βουλή) Ἔστω δηλ.

— Ἀδύνατον, καὶ οὐκ ἔτι οἷόν τε) Ἐκ παραλλήλου.

ς'. Ἀξία) Ἐστὶ δηλ.

2. Πρακτέον) Εἰη· εἰς διασάφησιν τῆς ἐγκλήσεως. — Οἷος . . . πείθεσθαι) Οἷον τοιοῦτος εἰμί, ὥστε πείθεσθαι· μετὰ μέντοι τὸ Τοιοῦτος πολλάκις καὶ τὸ Οἷος ἀποστηματικῶς λέγεται.

3. Πρεσβεύω καὶ τιμῶ) Ἐκ παραλλήλου· τὸ γὰρ πρεσβεύειν καὶ τιμᾶν ταὐτὸ δύναται.

4. Οὐδ' ἂν πλείω . . . μορμολύττηται) Οὐδ' ἂν φοβῇ ἡμᾶς, ὥσπερ παῖδας, πλείω κακὰ οἷον δεσμοὺς καὶ θανάτους ἐπιπέμπουσα ἡ τῶν πολλῶν δύναμις. Ἡ μεταφορὰ ἐκ τῶν μορμολυκίων, εἴτ' οὖν, προσωπείων δι' ὧν ἐκφοβοῦσι τοὺς παῖδας. Εἰλῆφθαι δὲ δοκεῖ ἐκ τῶν Ὁμήρου. Ἰλ. Υ. στίχ. 200.

Πηλείδη, μὴ δή μ' ἐπέεσσί γε, νηπύτιον ὣς
Ἔλπεο δειδίξεσθαι.

5. Προσέχειν τὸν νοῦν) Ὅπερ ἡμεῖς μόνον διὰ τοῦ Προσέχειν ἐκφράζομεν· δηλοῖ δὲ ἔχειν τὸν νοῦν πρὸς μὲν ταῖς, πρὸς δὲ ταῖς· εἴτ' οὖν πλησίον μὲν τῶν, πλησίον δὲ τῶν.

ἢ πρὶν μὲν ἐμὲ δεῖν ἀποθνήσκειν, καλῶς ἐλέγετο, νῦν δὲ κατά-
δηλος ἄρα ἐγένετο ὅτι ἄλλως ἕνεκα λόγου ἐλέγετο, ἦν δὲ παι-
6 διὰ καὶ φλυαρία ὡς ἀληθῶς. Ἐπιθυμῶ δ' ἔγωγε ἐπισκέψασθαι,
ὦ Κρίτων, κοινῇ μετὰ σοῦ, εἴτι μοι ἀλλοιότερος φανεῖται, ἐπειδὴ
γε ὧδε ἔχω, ἢ ὁ αὐτὸς, καὶ ἐάσομεν χαίρειν, ἢ πεισόμεθα αὐτῷ.
7 Ἐλέγετο δέ πως, ὡς ἐγῷμαι, ἑκάστοτε ὧδε ὑπὸ τῶν οἰομένων
τι λέγειν, ὥσπερ νῦν δὴ ἐγὼ ἔλεγον· ὅτι τῶν δοξῶν, ἃς οἱ ἄν-
θρωποι δοξάζουσι, δέοι τὰς μὲν περὶ πολλοῦ ποιεῖσθαι, τὰς
8 δὲ μή. Τοῦτο πρὸς θεῶν, ὦ Κρίτων, οὐ δοκεῖ καλῶς σοι λέγε-
σθαι; σὺ γὰρ, ὅσα γε τἀνθρώπεια, ἐκτὸς εἶ τοῦ μέλλειν ἀπο-
θνήσκειν αὔριον, καὶ οὐ κἂν σε παρακρούει ἡ παροῦσα ξυμφορά.
9 Σκόπει δή· οὐχ ἱκανὸς δοκεῖ σοι λέγεσθαι ὅτι οὐ πάσας χρὴ τὰς
δόξας τὰς τῶν ἀνθρώπων τιμᾶν, ἀλλὰ τὰς μὲν, τὰς δ' οὔ, οὐδὲ
πάντων, ἀλλὰ τῶν μὲν, τῶν δ' οὔ; — τί φῄς; ταῦτα οὐχὶ καλῶς
10 λέγεται; — Κρ. Καλῶς. — Σωκ. Οὐκοῦν τὰς μὲν χρηστὰς
τιμᾶν, τὰς δὲ πονηρὰς μή; — Κρ. Ναί. — Σωκ. Χρησταὶ
δὲ, οὐχ αἱ τῶν φρονίμων· πονηραὶ δὲ, αἱ τῶν ἀφρόνων; Κρ.
Πῶς δ' οὔ;

ζ. Σωκ. Φέρε δὴ πῶς αὐτὰ τοιαῦτα ἐλέγετο; Γυμναζόμενος
ἀνὴρ καὶ τοῦτο πράττων, πότερον παντὸς ἀνδρὸς ἐπαίνῳ καὶ
ψόγῳ [καὶ δόξῃ] τὸν νοῦν προσέχει, ἢ ἑνὸς μόνου ἐκείνου ὃς ἂν
2 τυγχάνοι ἰατρὸς ἢ παιδοτρίβης ὤν; — Κρ. Ἑνὸς μόνου. —
Σωκ. Οὐκοῦν φοβεῖσθαι χρὴ τοὺς ψόγους καὶ ἀσπάζεσθαι τοὺς
ἐπαίνους τοὺς τοῦ ἑνὸς ἐκείνου, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν; —
Κρ. Δῆλα δή. — Σωκ. Ταύτῃ ἄρα αὐτῷ πρακτέον καὶ γυμνα-
στέον καὶ ἐδεστέον γε καὶ ποτέον, ᾗ ἂν τῷ ἑνὶ δοκῇ τῷ ἐπιστάτῃ
3 καὶ ἐπαΐοντι, μᾶλλον ἢ ᾗ ξύμπασι τοῖς ἄλλοις. — Κρ. Ἔστι
ταῦτα. — Σωκ. Εἶεν. Ἀπειθήσας δὲ τῷ ἑνὶ, καὶ ἀτιμάσας αὐ-
τοῦ τὴν δόξαν καὶ τοὺς ἐπαίνους, τιμήσας δὲ τοὺς τῶν πολλῶν
καὶ μηδὲν ἐπαϊόντων, ἆρα οὐδὲν κακὸν πείσεται; — Κρ. Πῶς
γὰρ οὔ; — Σωκ. Τί δ' ἔστι τὸ κακὸν τοῦτο; καὶ ποῖ τείνει, καὶ
εἰς τί τῶν τοῦ ἀπειθοῦντος; — Κρ. Δῆλον ὅτι εἰς τὸ σῶμα·

---

5. Ἄλλως) Κατ' ἄλλον τινὰ μάταιον καὶ ἀνωφελῆ λόγον, ἁπλῶς ἵνα γένηται διάλεξις καὶ ὁμιλία.

6. Φανεῖται) Ὁ λόγος δηλ.

— Καὶ ἐάσομεν χαίρειν) Αὐτὸν τὸν λόγον· ἐὰν ἀλλοιότερος φανῇ· ἢ πεισώμεθα αὐτῷ, ἐὰν ὁ αὐτὸς φανῇ.

8. Ὅσα γε τἀνθρώπεια) Καθ' ὅσα ἐστὶ τὰ ἀνθρώπινα· κατὰ τὸν δυνατὸν ἢ φαινόμενον τῶν ἐν ἀνθρώποις.

9. Οὐδὲ πάντων) Τῶν ἀνθρώπων.

ζ. Ἑνὸς καὶ μόνου) Ἀνδρὸς ἐπαίνῳ προσέχει τὸν νοῦν ἢ ψόγῳ.

2. Δῆλα δή) Δῆλα ἐστὶ δὴ ταῦτα. ὅπερ ἐστὶ· βεβαιότατα.

— Ταύτῃ ᾗ) Οὕτω δηλ. ὡς.

— Τῷ ἐπιστάτῃ) Ἦσαν γὰρ ἐπιστάται τῶν γυμναζομένων καλούμενοι Παιδοτρίβαι· ἢ γυμνασταὶ οἱ τοῖς γυμναζομένοις ἐπεστάτουν.

3. Καὶ εἰς τί τῶν) Ἔργων τοῦ ἀπειθ.

τοῦτο γὰρ διόλλυσι. — Σωκ. Καλῶς λέγεις. Οὐκοῦν καὶ τἄλλα, 4
ὦ Κρίτων, οὕτως, ἵνα μὴ πάντα διΐωμεν· καὶ δὴ καὶ περὶ τῶν δικαίων καὶ ἀδίκων, καὶ αἰσχρῶν καὶ καλῶν, καὶ ἀγαθῶν καὶ κακῶν, περὶ ὧν νῦν ἡμῖν ἐστιν ἡ βουλή, πότερον τῇ τῶν πολλῶν δόξῃ δεῖ ἡμᾶς ἕπεσθαι, καὶ φοβεῖσθαι αὐτήν, ἢ τῇ τοῦ ἑνός, εἴ τίς ἐστιν ἐπαΐων, ὃν δεῖ καὶ αἰσχύνεσθαι καὶ φοβεῖσθαι μᾶλλον ἢ ξύμπαντας τοὺς ἄλλους; ᾧ εἰ μὴ ἀκολουθήσομεν, διαφθεροῦμεν ἐκεῖνο καὶ λωβησόμεθα, ὃ τῷ μὲν δικαίῳ βέλτιον ἐγίγνετο, τῷ δὲ ἀδίκῳ ἀπώλλυτο; ἢ οὐδέν ἐστι τοῦτο; — Κρ. Οἶμαι ἔγωγε, ὦ Σώκρατες.

ή. Σωκ. Φέρε δή, ἐὰν τὸ ὑπὸ τοῦ ὑγιεινοῦ μὲν βέλτιον γιγνόμενον, ὑπὸ τοῦ νοσώδους δὲ διαφθειρόμενον, διολέσωμεν, πειθόμενοι μὴ τῇ τῶν ἐπαϊόντων δόξῃ, ἆρα βιωτὸν ἡμῖν ἐστι διεφθαρμένου αὐτοῦ; ἔστι δέ που τοῦτο σῶμα, ἢ οὐχί; — Κρ. Ναί. — Σωκ. Ἆρ' οὖν βιωτὸν ἡμῖν ἐστὶ μετὰ μοχθηροῦ καὶ διεφθαρμένου σώματος; — Κρ. Οὐδαμῶς. — Σωκ. Ἀλλὰ μετ' ἐ- 2
κείνου ἄρα ἐστὶν ἡμῖν βιωτὸν διεφθαρμένου, ὃ τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ δίκαιον ὀνίνησιν; ἢ φαυλότερον ἡγούμεθα εἶναι τοῦ σώματος ἐκεῖνο ὅ,τι ποτ' ἐστὶ τῶν ἡμετέρων, περὶ ὃ ἥ τε ἀ-
δικία καὶ ἡ δικαιοσύνη ἐστίν; — Κρ. Οὐδαμῶς. — Σωκ. Ἀλ- 3
λὰ τιμιώτερον; — Κρ. Πολύ γε. — Σωκ. Οὐκ ἄρα, ὦ βέλτιστε, πάνυ ἡμῖν οὕτω φροντιστέον ὅ,τι ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς, ἀλλ' ὅ,τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων, ὁ εἷς, καὶ αὐτὴ
ἡ ἀλήθεια. Ὥς τε πρῶτον μὲν ταύτῃ οὐκ ὀρθῶς εἰσηγῇ, εἰσηγού- 4
μενος τῆς τῶν πολλῶν δόξης δεῖν ἡμᾶς φροντίζειν περὶ τῶν δι-
καίων καὶ καλῶν καὶ ἀγαθῶν, καὶ τῶν ἐναντίων. Ἀλλὰ μὲν δὴ 5
φαίη γ' ἄν τις· οἷοί τέ εἰσιν ἡμᾶς οἱ πολλοὶ ἀποκτιννύναι· δῆλα δὴ
καὶ ταῦτα. — Κρ. Φαίη γὰρ ἄν, ὦ Σώκρατες. — Σωκ. Ἀλη- 6
θῆ λέγεις. Ἀλλ', ὦ θαυμάσιε, οὗτός γε ὁ λόγος ὃν διεληλύθαμεν, ἔμοι γε δοκεῖ ὅμοιος εἶναι καὶ ὁ πρότερον. Καὶ τόνδε δ' αὖ σκόπει, εἰ ἔτι μένει ἡμῖν, ἢ οὔ, ὅτι οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν. — Κρ. Ἀλλὰ μένει. — Σωκ. Τὸ δὲ εὖ καὶ

---

4. Οὕτω) Δεῖ λέγειν, ἢ ἐννοεῖν.

ή. Πειθόμεν. μὴ τῇ) Καθ' ὑπερβατὸν ἀντὶ πειθόμενοι τῇ δόξῃ τῶν μὴ ἐπαϊόντων.

2. Μετ' ἐκείνου) Τοῦ μέρους ἡμῶν, ἔστι δὲ τοῦτο ἡ ψυχή.

— Ὅ) Μέρος ἡμῶν.

3. Ὁ εἷς) Ἐκ τοῦ Ὀρφέως εἴληπται λέγοντος.

Εἷς θεός ἐστι· Θεῷ δ' ἓν σύμφυτον, ἀλήθεια.

4. Ταύτῃ) Τῇ ἀληθείᾳ δηλ.

6. Καὶ ὁ πρότερον) Πρισκιανὸς ἐκ. Οἱ Ἀττικοί φησι λέγουσιν. Ὅμοιος ἐστὶ λόγος, καὶ πρότερον· ἀντὶ οἷος καὶ ὁ πρότερον. Πλάτων Κρίτωνι. Ἀλλ', ὦ θαυμάσιε, οὗτός γε ὁ λόγος, ὃν διεληλύθαμεν, δοκεῖ ἂν ὅμοιος εἶναι, καὶ ὁ πρότερος· ἀντὶ τοῦ οἷος καὶ ὁ πρότερος.

— Καὶ τόνδε δὲ) Τὸν λόγον δηλ.

ΙΩΑΝΝΙΝΑ 2006

καλῶς καὶ δικαίως ὅτι ταὐτόν ἐστι, μένει, ἢ οὐ μένει; — Κρ. Μένει.

θ'. Σωκ. Οὐκοῦν ἐκ τῶν ὁμολογουμένων τοῦτο σκεπτέον, πότερον δίκαιον ἐμὲ ἐνθένδε πειρᾶσθαι ἐξιέναι, μὴ ἀφιέντων Ἀθηναίων, ἢ οὐ δίκαιον· καὶ ἐὰν μὲν φαίνηται δίκαιον, πειρώμεθα·
2 εἰ δὲ μή, ἐῶμεν. Ἃς δὲ σὺ λέγεις τὰς σκέψεις περί τε χρημάτων ἀναλώσεως καὶ δόξης, καὶ παίδων τροφῆς, μὴ ὡς ἀληθῶς ταῦτα, ὦ Κρίτων, σκέμματα ᾖ τῶν ῥᾳδίως ἀποκτιννύντων, καὶ ἀναβιωσκομένων γ' ἄν, εἰ οἷοί τε ἦσαν, οὐδενὶ ξὺν νῷ, τούτων τῶν πολλῶν· ἡμῖν δὲ (ἐπειδὴ ὁ λόγος οὕτως αἱρεῖ) μὴ οὐδὲν ἄλλο σκεπτέον ᾖ ἤ, ὅπερ νῦν δὴ ἐλέγομεν, πότερον δίκαια πράξομεν καὶ χρήματα τελοῦντες τούτοις τοῖς ἐμὲ ἐνθένδε ἐξάξουσι καὶ χάριτας, καὶ αὐτοὶ ἐξάγοντές τε καὶ ἐξαγόμενοι, ἢ τῇ ἀ-
3 ληθείᾳ ἀδικήσομεν πάντα ταῦτα ποιοῦντες· κἂν φαινώμεθα ἄδικα αὐτὰ ἐργαζόμενοι, μὴ οὐ δέῃ ὑπολογίζεσθαι, οὔτ' εἰ ἀποθνήσκειν δεῖ παραμένοντας καὶ ἡσυχίαν ἄγοντας, οὔτε ἄλλο
4 ὁτιοῦν πάσχειν, πρὸ τοῦ ἀδικεῖν. — Κρ. Καλῶς μέν μοι δοκεῖς λέγειν, ὦ Σώκρατες· ὅρα δὲ τί δρῶμεν. — Σωκ. Σκοπῶμεν, ὦ 'γαθέ, κοινῇ· καὶ εἴπῃ ἔχεις ἀντιλέγειν ἐμοῦ λέγοντος, ἀντίλεγε, καί σοι πείσομαι· εἰ δὲ μή, παῦσαι ἤδη, ὦ μακάριε, πολλάκις μοι λέγων τὸν αὐτὸν λόγον, ὡς χρὴ ἐνθένδε ἀκόντων Ἀθηναίων ἐμὲ ἀπιέναι. Ὡς ἐγὼ περὶ πολλοῦ ποιοῦμαι πεῖσαί σε
5 ταῦτα πράττειν, ἀλλὰ μὴ ἄκοντος. Ὅρα δὲ δὴ τῆς σκέψεως τὴν ἀρχήν, ἐάν σοι ἱκανῶς λέγηται, καὶ πειρῶ ἀποκρίνασθαι τὸ ἐρωτώμενον, ᾗ ἂν μάλιστα οἴῃ. — Κρ. Ἀλλὰ πειράσομαι.

---

θ'. 2. Ἃς δὲ σὺ λέγεις) Οἷον αἱ δὲ σκέψεις, ἃς σὺ λέγεις, μὴ ὦσιν ὡς ἀληθῶς σκέμματα τῶν ῥᾳδίως ἀποκτιννύντων.

— Ταῦτα) Ἐπειδὴ τό, Σκέψεις πλαγίως εἰς τὸ λέγεις ἐξήνεγκεν· ἐπαναλαμβάνει ἐν οὐδετέρῳ γένει πρὸς τὸ σημαινόμενον.

— Τούτων τῶν πολλῶν) Ἐξήγησις τοῦ τῶν ῥᾳδίως ἀποκτιννύντων· δηλ. τούτων τῶν πολλῶν.

— Καὶ χάριτας) Χάριν εἰδέναι, χάριν ἔχειν, χάριν ὁμολογεῖν, χάριν διδόναι, χάριν ἐκτίνειν λέγουσιν Ἕλληνες· χάριν δὲ τελεῖν οὔ. Ἔδει οὖν εἰπεῖν τὸν Πλάτωνα. Καὶ χρήματα τελοῦντες, καὶ χάριτας προσειδότες· ὥσπερ ἐν Ἀπολ. δ'. 2. σφίσι ξυνεῖναι χρήματα διδόντας, καὶ χάριν προσειδέναι· ὁ δέ, πρὸς τὸ ἓν ῥῆμα ἀπέδωκεν ἄμφω τὰ ὀνόματα· ἐπειδὴ γὰρ λέγεται χάριν ἐκτίνειν· οὐδὲν ξένον καὶ τελεῖν χάριν εἰπεῖν πρὸς ἀποφυγὴν τοῦ προστηθέναι ἄλλο ῥῆμα ἰδιάζων πρὸς τὸ χάριν.

3. οὔτε ἄλλο) Ἀπὸ κοινοῦ, Εἰ δεῖ ἤν ᾖ· οὔτ' εἰ δεῖ ἄλ.

— Πρὸ τοῦ ἀδικεῖν) Ἀντὶ μᾶλλον ἢ ἀδικεῖν· προτίμησιν γὰρ σημαίνει ἡ Πρό.

4. Περὶ πολλοῦ ποιοῦμαι καὶ τ.) Πολὺ γὰρ ἐγὼ προτιμῶ, ἵνα πείσωσε ὅπως ταῦτα ποιήσῃς, ἅπερ λέγω· ἀλλὰ μὴ ποιήσῃς, ἄκοντός σου. Σημείωται δὲ ὅτι τό, Ἄκοντος, ἐν εἴδει ἐπιρρήματος λαμβάνεται· οἷον ἀλλὰ μὴ ἀκοντὶ ποιήσῃς· ὅθεν καὶ εἰ ἀπολύτως ἐν ταὐτοπροσωπίᾳ λέγεται· οὐδὲν ξένον.

5. Ὅρα δὲ δὴ) Ὅρα δέ, ἐὰν ἱκανῶς λέγηται τοῦτο, ὅπερ ἐστὶν ἀρχὴ τῆς σκέψεως. Ἔστι δὲ τὸ ἐν τῷ ἑπομένῳ λεγόμενον. — Ἢ ἂν μάλιστα) Ὡς ἂν μάλιστα νομίζῃς καλῶς ἔχειν εἶναι.

Εργ.Δ της Κτ.Π ΙΩΑΝΝΙΝΑ 2006

ι. Σωκ. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι· ἤ, τινὶ μὲν ἀδικητέον τρόπῳ, τινὶ δὲ οὔ; ἢ οὐδαμῶς τό γε ἀδικεῖν οὔτε ἀγαθὸν οὔτε καλὸν, ὡς πολλάκις ἡμῖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ὡμολογή-
θη; ὅπερ καὶ ἄρτι ἐλέγετο. Ἢ πᾶσαι ἡμῖν ἐκεῖναι αἱ πρόσθεν ὁμο- 2
λογίαι ἐν ταῖσδε ταῖς ὀλίγαις ἡμέραις ἐκκεχυμέναι εἰσί; καὶ πάλαι, ὦ Κρίτων, ἄρα τηλικοίδε γέροντες ἄνδρες πρὸς ἀλλήλους σπουδῇ διαλεγόμενοι, ἐλάθομεν ἡμᾶς αὐτοὺς παίδων οὐδὲν διαφέροντες; ἢ παντὸς μᾶλλον οὕτως ἔχει, ὥσπερ τότε ἐλέγετο ἡμῖν,
εἴτε φασὶν οἱ πολλοὶ, εἴτε μή; Καὶ εἴτε δεῖ ἡμᾶς ἔτι τῶνδε 3
χαλεπώτερα πάσχειν, εἴτε καὶ πρᾳότερα, ὅμως τό γε ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ φα-
μέν, ἢ οὔ; — Κρ. Φαμέν. — Σωκ. Οὐδαμῶς ἄρα δεῖ ἀ- 4
δικεῖν; — Κρ. Οὐ δῆτα. — Σωκ. Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται· ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν;
— Κρ. Οὐ φαίνεται. — Σωκ. Τί δὲ δή; κακουργεῖν δεῖ, ὦ 5
Κρίτων, ἢ οὔ; — Κρ. Οὐ δεῖ δήπου, ὦ Σώκρατες. — Σωκ. Τί δέ; ἀντικακουργεῖν κακῶς πάσχοντα, ὡς οἱ πολλοί φασι, δίκαιον, ἢ οὐ δίκαιον; — Κρ. Οὐδαμῶς. — Σωκ. Τὸ γάρ που κακῶς
ποιεῖν ἀνθρώπους, τοῦ ἀδικεῖν οὐδὲν διαφέρει. — Κρ. Ἀληθῆ 6
λέγεις. — Σωκ. Οὔτε ἄρα ἀνταδικεῖν δεῖ, οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν. Καὶ ὅρα, ὦ Κρίτων, ταῦτα καθομολογῶν, ὅπως μὴ παρὰ δόξαν ὁμολογεῖς. Οἶδα γὰρ ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δοκεῖ καὶ δόξει· οἷς οὖν οὕτω δέδοκται, καὶ οἷς μὴ, τούτοις οὐκ ἔστι κοινὴ βουλὴ, ἀλλ' ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας τὰ ἀλλήλων βουλεύ-
ματα. Σκόπει δὴ οὖν καὶ σὺ εὖ μάλα, πότερον κοινωνεῖς καὶ 7
συνδοκεῖ σοι, καὶ ἀρχώμεθα ἐντεῦθεν βουλευόμενοι, ὡς οὐδέποτε ὀρθῶς ἔχοντος οὔτε τοῦ ἀδικεῖν οὔτε τοῦ ἀνταδικεῖν, οὔτε τὸ κακῶς πάσχοντα ἀμύνεσθαι ἀντιδρῶντα κακῶς· ἢ ἀφίστασαι
καὶ οὐ κοινωνεῖς τῆς ἀρχῆς. Ἐμοὶ μὲν γὰρ καὶ πάλαι οὕτω, 8
καὶ νῦν ἔτι δοκεῖ· σοὶ δὲ εἴπῃ ἄλλῃ δέδοκται, λέγε καὶ δίδασκε.
Εἰ δὲ ἐμμένεις τοῖς πρόσθεν, τὸ μετὰ τοῦτο ἄκουε. — Κρ. Ἀλλ' 9
ἐμμένω τε καὶ ξυνδοκεῖ μοι· ἀλλὰ λέγε. — Σωκ. Λέγω δὴ αὖ τὸ μετὰ τοῦτο, μᾶλλον δὲ ἐρωτῶ· πότερον ἃ ἄν τις ὁμολογήσῃ τῳ, δίκαια ὄντα, ποιητέον ἢ ἐξαπατητέον; — Κρ. Ποιητέον.

---

ι. 2. Ἢ παντὸς μᾶλλον) Ἀντὶ ὑπὲρ πᾶν ἄλλο μᾶλλον οὕτως ἔχει ὅπερ ἐστὶ πάντως οὕτως ἔχει.

3. Παντὶ τρόπῳ) Ὅπως ἂν θεωρηθῇ πανταχόθεν ἐξεταζόμενον.

7. Ὡς οὐδέποτε) Τὸ Ὡς αἰτιατικὴν πρὸς μετοχὴν ἀπόλυτον. Σύνηθες δὲ τοῦτο· τοιοῦτο γὰρ καὶ τὸ Λουκιαν. Διάλ. νεκρ. Καὶ μὴν οὕτως γίνωσκε, ὡς οὐδὲ παυσομένου μου.

8. Εἴπῃ ἄλλῃ) Ἐὰν ἄλλως πως δοκῇ.

9. Ἀλλὰ λέγε) Παρακελευσματικὸς ὁ Ἀλλά.

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ιά. Σωκ. Ἐκ τούτων δὴ ἄθρει. Ἀπιόντες ἐνθένδε ἡμεῖς μὴ πείσαντες τὴν πόλιν, πότερον κακῶς τινας ποιοῦμεν, καὶ ταῦτα, οὓς ἥκιστα δεῖ, ἢ οὔ; καὶ ἐμμένομεν οἷς ὡμολογήσαμεν δικαίοις οὖσιν, ἢ οὔ; — Κρ. Οὐκ ἔχω, ὦ Σώκρατες ἀποκρίνασθαι
2 πρὸς ὃ ἐρωτᾷς· οὐ γὰρ ἐννοῶ. — Σωκ. Ἀλλ' ὧδε σκόπει. Εἰ μέλλουσιν ἡμῖν ἐνθένδε εἴτε ἀποδιδράσκειν, εἴθ' ὅπως δεῖ ὀνομάσαι τοῦτο, ἐλθόντες οἱ νόμοι καὶ τὸ κοινὸν τῆς πόλεως, ἐπι-
3 στάντες ἔροιντο· »Εἰπέ μοι, ὦ Σώκρατες, τί ἐν νῷ ἔχεις ποιεῖν; ἄλλο τι ἢ τούτῳ τῷ ἔργῳ, ᾧ ἐπιχειρεῖς, διανοῇ τούς τε νόμους ἡμᾶς ἀπολέσαι, καὶ ξύμπασαν τὴν πόλιν, τὸ σὸν μέρος; ἢ δοκεῖ σοι οἷόν τ' ἔτι ἐκείνην τὴν πόλιν εἶναι, καὶ μὴ ἀνατετράφθαι, ἐν ᾗ ἂν αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύωσιν, ἀλλ' ὑπὸ ἰδιωτῶν ἄκυροί τε γίγνωνται καὶ διαφθείρωνται;» τί ἐροῦμεν, ὦ
4 Κρίτων, πρὸς ταῦτα καὶ ἄλλα τοιαῦτα; Πολλὰ γὰρ ἄν τις ἔχοι ἄλλως τε καὶ ῥήτωρ, εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου, ὃς τὰς δίκας τὰς δικασθείσας προστάττει κυρίας εἶναι. Ἢ ἐροῦμεν πρὸς αὐτούς· ὅτι ἠδίκει γὰρ ἡμᾶς ἡ πόλις, καὶ οὐκ ὀρθῶς τὴν δίκην ἔκρινε; ταῦτα, ἢ τί ἐροῦμεν; — Κρ. Ταῦτα νὴ Δία, ὦ Σώκρατες.

ιβ'. Σωκ. Τί οὖν; ἂν εἴπωσιν οἱ νόμοι· «Ὦ Σώκρατες, ἦ καὶ ταῦτα ὡμολόγητο ἡμῖν τε καὶ σοὶ, ἢ ἐμμένειν ταῖς δίκαις
2 αἷς ἂν ἡ πόλις δικάζοι;» Εἰ οὖν αὐτῶν θαυμάζοιμεν λεγόντων, ἴσως ἂν εἴποιεν· «Ὅτι, ὦ Σώκρατες, μὴ θαύμαζε τὰ λεγόμενα, ἀλλ' ἀποκρίνου, ἐπειδὴ καὶ εἴωθας χρῆσθαι τῷ ἐ-
3 ρωτᾷν τε καὶ ἀποκρίνεσθαι. Φέρε γὰρ τί ἐγκαλῶν ἡμῖν καὶ τῇ πόλει ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; οὐ πρῶτον μέν σε ἐγεννήσαμεν ἡμεῖς; καὶ δι' ἡμῶν ἔλαβε τὴν μητέρα σου ὁ πατὴρ καὶ ἐφύτευσέ σε; Φράσον οὖν, τούτοις ἡμῶν τοῖς νόμοις τοῖς περὶ

---

ιά. Καὶ ταῦτα) Ποιοῦμεν, κακὰ εἰ ποιοῦντες, οὓς ἥκιστα δεῖ κακῶς ποιεῖν.

2. Ἐπιστάν.) Φερόμενον πρὸς τὸ κοινὸν τῆς πόλεως κατὰ σημασίαν ἐσχημάτισται· τὸ γὰρ κοινὸν τῆς πόλεως οἱ πολῖται εἰσίν.

3. Ἄλλο τι) ἄλλο τι διανοῇ τοῦτο τῷ ἔργῳ, ᾧ ἐπιχειρεῖς, ἢ διανοῇ τούς τε νόμ. καὶ ἔστιν ὁ Ἢ τοῦ διαφορικοῦ Ἄλλο τι.

— Τὸ σὸν μέρος) Κατὰ τὸ σὸν μέρος· τὸ παρ' ἡμῖν, ὅσον ἀπὸ μέρους σου.

— Ἢ δοκεῖ σοι) Ἢ, ἐὰν μὴ τοῦτο διανοῇ, δοκεῖ σοι· καὶ τλ. καὶ ἔστιν ὁ Ἢ παραδιαζευκτικὸς πράγματα διαζευγνύων.

4. Ταῦτα, ἢ τί ἐροῦμεν) Ταῦτα ἐροῦμεν, ἢ τί ἄλλο ἐροῦμεν.

ιβ'. Ἦ καὶ ταῦτα καὶ τλ.) Οἷον Ἆρά γε καὶ ταῦτα ὡμολόγητο ἡμῖν τοῖς νόμοις, καὶ σοὶ, τὰ εἰρημένα δηλ. ἢ ὡμολόγητο ἐμμένειν ταῖς δ. καὶ τλ. Οἱ γὰρ ἔφηβοι ἐν Ἀθήναις τοιόνδε ὅρκον ἐπιοῦντο. »Τοῖς θεσμοῖς τοῖς ἱδρυμένοις πείσομαι, καὶ οὕς τινας ἂν ἄλλους »τὸ πλῆθος ἱδρύσηται ὁμοφρόνως· καὶ »ἄν τις ἀναιρῇ τοὺς θεσμοὺς, ἢ μὴ »πείθηται, οὐκ ἐπιτρέψω· ἀμυνῶ δὲ καὶ »μόνος καὶ μετὰ πάντων.« Στοβαῖος Ἐκλογ. Ἠθικ. κεφ. μά.

2. Αὐτῶν θαυμ.) Τὸ θαυμάζω αἰτιατικῇ μὲν συντασσόμενον, τὸ ἐπαινῶ σημαίνει· οἷον· θαυμάζω σε τῆς σοφίας· γενικῇ δὲ, τὸ, εἰρωνευόμενος καταγελῶ· οἷον· θαυμάζω τοῦ δεῖνος.

3. Ἐγεννή.) Νόμος γὰρ Ἀθήνησιν ἕκαστον τῶν πολιτῶν γυναῖκα ἄγεσθαι παιδοποιΐας ἕνεκα.

— Τούτοις ἡμῶν) Τὸ ἡμῶν διαιρετικῶς ἤτοι ἐξ ἡμῶν τῶν νόμων τούτοις τοῖς νόμοις μέμφῃ τι.

Εργ.Δ. της Ρ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοὺς γάμους μέμφῃ τι, ὡς οὐ καλῶς ἔχουσιν;» Οὐ μέμφο-
μαι, φαίην ἄν. «Ἀλλὰ τοῖς περὶ τὴν τοῦ γεννομένου τροφήν 4
τε καὶ παιδείαν, ἐν ᾗ καὶ σὺ ἐπαιδεύθης; ἢ οὐ καλῶς προ-
σέταττον ἡμῶν οἱ ἐπὶ τούτοις τεταγμένοι νόμοι, παραγγέλλον-
τες τῷ πατρὶ τῷ σῷ σε ἐν μουσικῇ καὶ γυμναστικῇ παιδεύειν;»
Καλῶς, φαίην ἄν. «Εἶεν· ἐπειδὴ δὲ ἐγένου τε καὶ ἐξετράφης 5
καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν πρῶτον μέν, ὡς οὐχὶ ἡμέτε-
ρος ἦσθα καὶ ἔγκονος καὶ δοῦλος, αὐτός τε καὶ οἱ σοὶ πρόγονοι;
Καὶ εἰ τοῦτο οὕτως ἔχει, ἆρ' ἐξ ἴσου οἴει εἶναι σοὶ τὸ δίκαιον 6
καὶ ἡμῖν, καὶ ἅττ' ἂν ἡμεῖς σε ἐπιχειρῶμεν ποιεῖν, ταῦτα
καὶ σὺ ἀντιποιεῖν οἴει δίκαιον εἶναι; Ἢ πρὸς μὲν ἄρα σοι τὸν 7
πατέρα οὐκ ἐξ ἴσου ἦν τὸ δίκαιον, καὶ πρὸς δεσπότην (εἴ σοι
ὢν ἐτύγχανεν,) ὥς τε ἅπερ πάσχεις, ταῦτα καὶ ἀντιποιεῖν, οὔ-
τε κακῶς ἀκούοντα ἀντιλέγειν, οὔτε τυπτόμενον ἀντιτύπτειν,
οὔτε ἄλλα τοιαῦτα πολλά· πρὸς δὲ τὴν πατρίδα ἄρα καὶ τοὺς
νόμους ἐξέσται σοι, ὥστε ἐάν σε ἐπιχειρῶμεν ἡμεῖς ἀπολλύναι,
δίκαιον ἡγούμενοι εἶναι, καὶ σὺ δὲ ἡμᾶς τοὺς νόμους καὶ τὴν
πατρίδα, καθ' ὅσον δύνασαι, ἐπιχειρήσεις ἀνταπολλύναι, καὶ
φήσεις, ταῦτα ποιῶν, δίκαια πράττειν, ὁ τῇ ἀληθείᾳ τῆς ἀρε-
τῆς ἐπιμελούμενος; Ἢ οὕτως εἶ σοφός, ὥστε λέληθέ σε ὅτι 8
μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τι-
μιώτερόν ἐστι πατρίς, καὶ σεμνότερον καὶ ἁγιώτερον καὶ ἐν
μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις τοῖς νοῦν
ἔχουσι; καὶ σέβεσθαι δεῖ καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν 9
πατρίδα χαλεπαίνουσαν, ἢ πατέρα, καὶ ἢ πείθειν, ἢ ποιεῖν ἃ
ἂν κελεύῃ, καὶ πάσχειν; ἐάν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄ-
γοντα, ἐάν τε τύπτεσθαι, ἐάν τε δεῖσθαι; ἐάν τε εἰς πόλεμον
ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον, ποιητέα ταῦτα, καὶ τὸ
δίκαιον οὕτως ἔχει; καὶ οὐχ ὑπεικτέον, οὐδ' ἀναχωρητέον, οὐδὲ 10
λειπτέον τὴν τάξιν; ἀλλὰ καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ καὶ
πανταχοῦ ποιητέον, ἃ ἂν κελεύῃ ἡ πόλις τε καὶ ἡ πατρίς; ἢ
πείθειν αὐτήν, ᾗ τὸ δίκαιον πέφυκε, βιάζεσθαι δὲ οὐχ ὅσιον
οὔτε μητέρα, οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν
πατρίδα.» Τί φήσομεν πρὸς ταῦτα, ὦ Κρίτων; ἀληθῆ λέγειν
τοὺς νόμους, ἢ οὔ; — Κρ. Ἔμοιγε δοκεῖ.«

ιγ'. Σωκ. »Σκόπει τοίνυν, ὦ Σώκρατες, (φαῖεν ἂν ἴσως οἱ

---

9. Καὶ σέβεσθαι δεῖ) Καὶ ὅτι δεῖ σέβ. — Ποιητέα ταῦτα) Ἐστίν; τὸ δὲ Ποιητέα εἰς πληθυντικὸν σχῆμα ἔθει Ἀττικῷ ἀντὶ Ποιητέον ἐστὶ ταῦτα; ἤτοι δεῖ ποιεῖν ταῦτα; οἱ γὰρ Ἀττικοὶ χαίρουσιν ἀεὶ ταῖς καινοτομίαις· τοῦτο δὲ κατὰ μόνον οὐδέτερον γίνεται.

10. Καὶ οὐχ ὑπεικτέον) Τοῖς πολεμίοις δηλ.



Ε. Α της Κ. Π
ΙΩΑΝΝΙΝΑ 2006

νόμοι) εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν, ὅτι οὐ δίκαια ἡμᾶς ἐπι-
2 χειρεῖς δρᾶν, ἃ νῦν ἐπιχειρεῖς. Ἡμεῖς γάρ σε γεννήσαντες, ἐκθρέψαντες, παιδεύσαντες, μεταδόντες ἁπάντων ὧν οἷοί τε ἦμεν καλῶν σοί τε καὶ τοῖς ἄλλοις πᾶσι πολίταις· ὅμως προαγορεύομεν τῷ ἐξουσίαν πεποιηκέναι Ἀθηναίων τῷ βουλομένῳ, ἐπειδὰν δοκιμάσθῃ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα, καὶ ἡμᾶς τοὺς νόμους, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβόντα
3 τὰ αὑτοῦ ἀπιέναι ὅπῃ ἂν βούληται. Καὶ οὐδεὶς ἡμῶν τῶν νόμων ἐμποδών ἐστιν, οὐδ᾽ ἀπαγορεύει, ἐάν τέ τις βούληται ὑμῶν εἰς ἀποικίαν ἰέναι (εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις), ἐάν τε μετοικεῖν ἄλλοσέ ποι ἐλθών, ἰέναι ἐκεῖσε ὅπῃ ἂν βούληται,
4 ἔχων τὰ αὑτοῦ. Ὃς δ᾽ ἂν ὑμῶν παραμείνῃ, ὁρῶν ὃν τρόπον ἡμεῖς τάς τε δίκας δικάζομεν, καὶ τἆλλα τὴν πόλιν διοικοῦμεν, ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ ἡμῖν, ἃ ἂν ἡμεῖς κελεύωμεν, ποιήσειν ταῦτα· καὶ τὸν μὴ πειθόμενον, τριχῇ φαμὲν ἀδικεῖν, ὅτι τε γεννήταις οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τροφεῦσι, καὶ ὅτι ὁμολογήσας ἡμῖν πείθεσθαι, οὔτε πείθεται οὔτε πείθει ἡμᾶς, εἰ μὴ καλῶς τι ποιοῦμεν· προτιθέντων ἡμῶν, καὶ οὐκ ἀγρίως ἐπιταττόντων ποιεῖν ἃ ἂν κελεύωμεν, ἀλλὰ ἐφιέντων δυοῖν θάτερα, ἢ πείθειν ἡμᾶς ἢ ποιεῖν, τούτων οὐδέτερα ποιεῖ.

ιδʹ. Ταύταις δὴ φαμὲν καὶ σέ, ὦ Σώκρατες, ταῖς αἰτίαις ἐνέξεσθαι, εἴπερ ποιήσεις ἃ ἐπινοεῖς· καὶ οὐχ ἥκιστα Ἀθηναίων
2 σε, ἀλλ᾽ ἐν τοῖς μάλιστα. »Εἰ οὖν ἐγὼ εἴποιμι, διατί δή, ἴσως ἄν μου δικαίως καθάπτοιντο, λέγοντες ὅτι ἐν τοῖς μάλιστα Ἀθηναίων ἐγὼ αὐτοῖς ὡμολογηκὼς τυγχάνω ταύτην τὴν
3 ὁμολογίαν.« Φαῖεν γὰρ ἄν. »Ὅτι, ὦ Σώκρατες, μεγάλα ἡμῖν τούτων τεκμήριά ἐστιν, ὅτι σοὶ καὶ ἡμεῖς ἠρέσκομεν καὶ ἡ
4 πόλις. Οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις, εἰ μή σοι διαφερόντως ἤρεσκε· καὶ

---

ιγʹ. 2. Τῷ ἐξουσίαν) Ὀργανικῶς· οἷον· Ὅμως ἐν τῷ πεποιηκέναι ἐξουσίαν τῷ βουλομένῳ τῶν Ἀθηναίων, ἐπειδὰν δοκιμάσθῃ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα, καὶ ἡμᾶς τοὺς νόμους, προαγορεύομεν ἐκείνῳ, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβεῖν τὰ αὑτοῦ καὶ ἀπιέναι, ὅπῃ ἂν βούληται.

4. Ποιήσειν ταῦτα) Ἀπὸ τοῦ ὡμολογηκέναι· οἷον· ὡμολογηκέναι ποιήσειν ταῦτα, ἃ ἂν ἡμεῖς κελεύωμεν.

— Γεννήταις) Σχολ. Αὐγουστάνος. Γεννῆται οἱ τοῦ γένους μετέχοντες καὶ ἀπ᾽ ἀρχῆς ἔχοντες κοινὰ ἱερά· οἱ δέ, ὁμογαλάκτους, φράτορας, συγγενεῖς, τοὺς γεννήτας.

— Ἢ ποιεῖν) Ἃ κελεύομεν δηλ.

ιδʹ. Ἀλλ᾽ ἐν τοῖς μάλ.) Ἐννοεῖται· ταύταις ταῖς αἰτίαις ἐνεχομένοις· ὡς καὶ ἐν α. 6.

2. Διὰ τί δή) Φατὲ ἐνέξεσθαί με ταύταις ταῖς αἰτίαις;

— Ἐν τοῖς μάλιστ.) Ἐν τοῖς πρώτοις· πολλάκις γὰρ τὰ ἐπιρρήματα συνάρθρως ἐπιθέτου χώραν ἔχει.

οὔτ' ἐπὶ θεωρίαν πώποτε ἐκ τῆς πόλεως ἐξῆλθες, ὅτι μὴ ἅ-
παξ εἰς Ἰσθμὸν, οὔτε ἄλλοσε οὐδαμόσε, εἰμὴ ποι στρατευσόμε-
νος· οὔτε ἄλλην ἐποιήσω ἀποδημίαν πώποτε, ὥσπερ οἱ ἄλλοι
ἄνθρωποι· οὐδ' ἐπιθυμία σε ἄλλης πόλεως οὐδ' ἄλλων νόμων
ἔλαβεν εἰδέναι· ἀλλὰ ἡμεῖς σοι ἱκανοὶ ἦμεν, καὶ ἡ ἡμετέρα πό- 5
λις· οὕτω σφόδρα ἡμᾶς ἡροῦ, καὶ ὡμολόγεις καθ' ἡμᾶς πολι-
τεύσεσθαι, τά τε ἄλλα καὶ παῖδας ἐν αὐτῇ ἐποιήσω, ὡς ἀρε-
σκούσης σοι τῆς πόλεως. Ἔτι τοίνυν ἐν αὐτῇ τῇ δίκῃ ἐξῆν σοι 6
φυγῆς τιμήσασθαι, εἰ ἐβούλου, καὶ ὅπερ νῦν ἀκούσης τῆς πό-
λεως ἐπιχειρεῖς, τότε ἑκούσης ποιῆσαι· σὺ δὲ τότε μὲν ἐκαλ-
λωπίζου, ὡς οὐκ ἀγανακτῶν, εἰ δέοι τεθνάναι σε, ἀλλ' ᾑροῦ,
ὡς ἔφησθα, πρὸ τῆς φυγῆς θάνατον· νῦν δὲ οὔτ' ἐκείνους τοὺς
λόγους αἰσχύνῃ, οὔτε ἡμῶν τῶν νόμων ἐντρέπῃ, ἐπιχειρῶν δια-
φθεῖραι· πράττεις τε ἅπερ ἂν δοῦλος ὁ φαυλότατος πράξειεν,
ἀποδιδράσκειν ἐπιχειρῶν παρὰ τὰς ξυνθήκας τε καὶ τὰς ὁμο-
λογίας, καθ' ἃς ἡμῖν ξυνέθου πολιτεύεσθαι. Πρῶτον μὲν οὖν ἡμῖν 7
τοῦτ' αὐτὸ ἀπόκριναι, εἰ ἀληθῆ λέγομεν, φάσκοντές σε ὡμο-
λογηκέναι πολιτεύσεσθαι καθ' ἡμᾶς ἔργῳ, ἀλλ' οὐ λόγῳ· ἢ οὐκ
ἀληθῆ;» Τί φῶμεν πρὸς ταῦτα, ὦ Κρίτων; ἄλλο τι ἢ ὁμολο-
γῶμεν; — Κρ. Ἀνάγκη, ὦ Σώκρατες. — Σωκ. Ἄλλο τι 8
οὖν, ἂν φαῖεν, ἢ ξυνθήκας τὰς πρὸς ἡμᾶς αὐτοὺς καὶ ὁμολο-
γίας παραβαίνεις; οὐχ ὑπ' ἀνάγκης ὁμολογήσας, οὐδὲ ἀπατη-
θεὶς, οὐδὲ ἐν ὀλίγῳ χρόνῳ ἀναγκασθεὶς βουλεύσασθαι, ἀλλ' ἐν
ἔτεσιν ἑβδομήκοντα, ἐν οἷς ἐξῆν σοι ἀπιέναι, εἰμὴ ἠρέσκομεν ἡ-
μεῖς, μηδὲ δίκαιαι ἐφαίνοντό σοι αἱ ὁμολογίαι εἶναι. Σὺ δὲ οὔ- 9
τε Λακεδαίμονα προῃροῦ, οὔτε Κρήτην, ἃς δὴ ἑκάστοτε φῂς
εὐνομεῖσθαι, οὔτε ἄλλην οὐδεμίαν τῶν Ἑλληνίδων πόλεων, οὐδὲ
τῶν βαρβαρικῶν· ἀλλ' ἐλάττω ἐξ αὐτῆς ἀπεδήμησας, ἢ οἱ χω-
λοί τε καὶ τυφλοὶ καὶ οἱ ἄλλοι ἀνάπηροι. Οὕτω σοι διαφε- 10
ρόντως τῶν ἄλλων Ἀθηναίων ἤρεσκεν ἡ πόλις τε καὶ ἡμεῖς οἱ
νόμοι δηλονότι. Τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων; νῦν

---

(4. Εἰς Ἰσθμὸν) Ἔνθα ἀγὼν γίνεται τὰ Ἴσθμια.
— Εἰ μή ποι) Ἔξω ὅπου ἐξῆλθες στρατευσόμενος· οἷον ἐν Ποτιδαίᾳ καὶ ἐν Ἀμφιπόλει, καὶ ἐπὶ Δηλίῳ· ὡς ἐν Ἀπολ. ιϛ'.
6. Τιμήσασθαι) Ὡς ἐν Ἀπολ. κϛ'.
— Ἐκαλλωπίζου) Αὐχῶν ἐπὶ τούτῳ· ὅρα ἐν Ἀπολ. κθ'. 6.
— Ἐντρέπῃ) Ἐντρέπομαι γὰρ σημαίνει καὶ τὸ φροντίζω· ὅθεν καὶ γενικῇ.
7. Τί φῶμεν) Ὅταν ἐν διαπορήσει ἢ ἐρώτησις πρὸς ὑποτακτικόν· κατ' ἔλλειψιν τοῦ Βούλει, καὶ Ἵνα τί· ἢ· βούλει ἵνα τί φῶμεν.
8. Ἄλλο τι) Ἀντὶ Ἄλλο τι ποιεῖς, ἢ παραβαίνεις;
9. Ἀλλ' ἐλάττω) Ὅπερ ἐστὶ μᾶλλον ἂν οἱ χωλοὶ ἀπεδήμησαν ἐξ αὐτῆς καὶ οἱ τυφλοὶ καὶ οἱ ἄλλοι ἀνάπηροι, ἢ σύ. Σημείωσαι δὲ ὅτι πηρὸς καλεῖται ὁ κατά τι μέρος τοῦ σώματος βεβλαμμένος· ἀνάπηρος δὲ, ὁ πᾶν τὸ σῶμα πεπηρωμένος.

δὲ δὴ οὐκ ἐμμένεις τοῖς ὡμολογημένοις· ἐμμενεῖς δέ, ἐάν ἡμῖν
γε πείθῃ, ὦ Σώκρατες· καὶ οὐ καταγέλαστός γε ἔσῃ, ἐκ τῆς
πόλεως ἐξελθών.

ιέ. Σκόπει γὰρ δή, ταῦτα παραβὰς, καὶ ἐξαμαρτὼν τι τού-
των, τί ἀγαθὸν ἐργάσῃ σαυτόν, ἢ τοὺς ἐπιτηδείους τοὺς σαυτοῦ.
Ὅτι μὲν γὰρ κινδυνεύσουσί γέ σου οἱ ἐπιτήδειοι καὶ αὐτοὶ φεύ-
γειν, καὶ στερηθῆναι τῆς πόλεως, ἢ τὴν οὐσίαν ἀπολέσαι, σχε-
2 δόν τι δῆλον. Αὐτὸς δὲ πρῶτον μὲν ἐὰν εἰς τῶν ἐγγύτατά τινα
πόλεων ἔλθῃς, ἢ Θήβαζε, ἢ Μεγάραδε (εὐνομοῦνται γὰρ ἀμ-
φότεραι), πολέμιος ἥξεις, ὦ Σώκρατες, τῇ τούτων πολιτείᾳ· καὶ
ὅσοι περ κήδονται τῶν αὐτῶν πόλεων, ὑποβλέψονταί σε, δια-
φθορέα ἡγούμενοι τῶν νόμων· καὶ βεβαιώσεις τοῖς δικασταῖς τὴν
δόξαν, ὥστε δοκεῖν ὀρθῶς τὴν δίκην δικάσαι· ὅς τις γὰρ νόμων
διαφθορεύς ἐστι, σφόδρα που δόξειεν ἂν νέων γε καὶ ἀνοήτων
3 ἀνθρώπων διαφθορεὺς εἶναι. Πότερον οὖν φεύξῃ τάς τε εὐνο-
μουμένας πόλεις καὶ τῶν ἀνδρῶν τοὺς κοσμιωτάτους; καὶ τοῦ-
το ποιοῦντι ἆρα ἄξιόν ἐστί σοι ζῆν; ἢ πλησιάσεις τούτοις, καὶ
ἀναισχυντήσεις διαλεγόμενός τινας λόγους, ὦ Σώκρατες, οἵους
περ ἐνθάδε, ὡς ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη πλείστου ἄξιον τοῖς
ἀνθρώποις, καὶ τὰ νόμιμα καὶ οἱ νόμοι; καὶ οὐκ εἴη ἄσχημον
4 ἂν φανῆσθαι τὸ τοῦ Σωκράτους πρᾶγμα; οἴεσθαί γε χρή. Ἀλλ'
ἐκ μὲν τούτων τῶν πόλεων ἀπαρεῖς, ἥξεις δὲ εἰς Θετταλίαν πα-
5 ρὰ τοὺς ξένους τοῦ Κρίτωνος. Ἐκεῖ γὰρ δὴ πλείστη ἀταξία
καὶ ἀκολασία· καὶ ἴσως ἂν ἡδέως σου ἀκούοιεν, ὡς γελοίως ἐκ
τοῦ δεσμωτηρίου ἀπεδίδρασκες σκευήν τέ τινα περιθέμενος, ἢ δι-
φθέραν λαβών, ἢ ἄλλα οἷα δὴ εἰώθασιν ἐνσκευάζεσθαι οἱ ἀπο-
6 διδράσκοντες, καὶ τὸ σχῆμα τὸ σαυτοῦ μεταλλάξας. Ὅτι δὲ
γέρων ἀνὴρ σμικροῦ χρόνου τῷ βίῳ λοιποῦ ὄντος, ὡς τὸ εἰκός,
ἐτόλμησας οὕτω γλίσχρως ἐπιθυμεῖν ζῆν, νόμους τοὺς μεγίστους
7 παραβάς, οὐδεὶς ὃς ἐρεῖ; Ἴσως, ἂν μή τινα λυπῇς· εἰ δὲ μή, ἀ-
κούσῃ, ὦ Σώκρατες, πολλὰ καὶ ἀνάξια σαυτοῦ. Ὑπερχόμενος

---

ιέ. 2. Εἰς τῶν ἐγγύτ.) Εἰς τινα τῶν πόλεων, ὅσαι ἐγγύτατά εἰσι τῶν Ἀθηνῶν.

— Θήβαζε, ἢ Μεγάραδε) Τῇ αἰτιατικῇ ἐπιτιθέμενος ὁ Δὲ ἀντὶ τῆς Εἰς κεῖται· οἷον. Θήβασδε, Μεγάραδε· ἀντὶ εἰς Θήβας, εἰς Μέγαρα· τὸ δὲ Θήβαζε, ἀντὶ Θήβας δε· τὸ γὰρ Ζ ἐκ τοῦ σδ.

— Τὴν δίκην δικ.) Ὡς ἐπιβατικῶς.

3. Διαλεγόμ. τιν. λόγ. ἢ οὓς) Ἀντὶ Διαλεγόμενός τινας ἄλλους λόγους, ἢ οὕσπερ· καὶ οὐχὶ δηλ. οὓς περ διελέγου ἐν Ἀθήναις ὅτι ἡ ἀρ. καὶ τλ.

— Τὸ τοῦ Σωκράτους πρᾶγμα) Ὁ Σωκράτης αὐτός· ἢ γοῦν ἡ τοῦ Σωκράτους ὑπόληψις.

— Οἴεσθαί γε) Ὁ Γὲ ἀντὶ τοῦ Ἀλλά. Ἀλλὰ οἴεσθαι χρὴ ὅτι φανεῖται ἄσχημον τὸ τοῦ Σωκράτους πρᾶγμα.

6 Λοιποῦ ὄντος) Ὅρα. Ἀπολ. κθ', 2.

— Οὐδεὶς, ὃς ἐρεῖ) Κατ' ἐρώτησιν ἀποφατικὴν ὂν κατάφασιν δηλοῖ· οἷον. Πᾶς δέ τις ἐρεῖ· ὅτι γέρων ὢν καὶ τλ.

7. Ἴσως) Ἴσως οὐδεὶς ἐρεῖ, ἐὰν μή

δὴ πάντας ἀνθρώπους βιώσῃ καὶ δουλεύων. Τί ποιῶν; ἢ εὐω- 8
χούμενος ἐν Θετταλίᾳ, ὥσπερ ἐπὶ δεῖπνον ἀποδεδημηκὼς εἰς
Θετταλίαν; λόγοι δὲ ἐκεῖνοι οἱ περὶ δικαιοσύνης καὶ τῆς ἄλλης
ἀρετῆς ποῦ ἡμῖν ἔσονται; Ἀλλὰ δὴ τῶν παίδων ἕνεκα βούλει 9
ζῆν, ἵνα αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύσῃς; τί δέ; εἰς Θετταλίαν
αὐτοὺς ἀγαγὼν θρέψεις τε καὶ παιδεύσεις, ξένους ποιήσας, ἵνα καὶ
τοῦτό σου ἀπολαύσωσιν; ἢ τοῦτο μὲν οὔ, αὐτοῦ δὲ τρεφόμενοι, σοῦ
ζῶντος, βέλτιον θρέψονται καὶ παιδεύσονται, μὴ ξυνόντος σοῦ αὐ-
τοῖς; Οἱ γὰρ ἐπιτήδειοι οἱ σοὶ ἐπιμελήσονται αὐτῶν. Πότερον ἐὰν 10
μὲν εἰς Θετταλίαν ἀποδημήσῃς, ἐπιμελήσονται, ἐὰν δὲ εἰς ᾅδου ἀ-
ποδημήσῃς, οὐχὶ ἐπιμελήσονται, εἴπερ γέ τι ὄφελος αὐτῶν ἐστὶ
τῶν σοὶ φασκόντων ἐπιτηδείων εἶναι; οἴεσθαί γε χρή.

ις΄. Ἀλλ᾽, ὦ Σώκρατες, πειθόμενος ἡμῖν τοῖς σοῖς τροφεῦσι,
μήτε παῖδας περὶ πλείονος ποιοῦ, μήτε τὸ ζῆν, μήτε ἄλλο μη-
δέν, πρὸ τοῦ δικαίου· ἵνα εἰς ᾅδου ἐλθὼν ἔχῃς ταῦτα πάντα
ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν. Οὔτε γὰρ ἐνθάδε σοι φαί- 2
νεται ταῦτα πράττοντι ἄμεινον εἶναι, οὐδὲ δικαιότερον, οὐδὲ ὁ-
σιώτερον, οὐδὲ ἄλλῳ τῶν σῶν οὐδενί· οὔτε ἐκεῖσε ἀφικομένῳ ἄ-
μεινον ἔσται. Ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπει, ἐὰν ἀπίῃς οὐχ 3
ὑφ᾽ ἡμῶν τῶν νόμων, ἀλλ᾽ ὑπ᾽ ἀνθρώπων· ἐὰν δὲ ἐξέλθῃς οὕτως
αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀντικακουργήσας, τὰς σαυτοῦ ὁμο-
λογίας τε καὶ ξυνθήκας τὰς πρὸς ἡμᾶς παραβάς, καὶ κακὰ ἐρ-
γασάμενος τούτους, οὓς ἥκιστα ἔδει, σαυτόν τε καὶ φίλους καὶ
πατρίδα καὶ ἡμᾶς· ἡμεῖς τέ σοι χαλεπανοῦμεν ζῶντι, καὶ ἐκεῖ
οἱ ἡμέτεροι ἀδελφοί, οἱ ἐν ᾅδου νόμοι, οὐκ εὐμενῶς σε ὑποδέξον-
ται, εἰδότες ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι, τὸ σὸν μέρος.
Ἀλλὰ μή σε πείσῃ Κρίτων ποιεῖν ἃ λέγει, μᾶλλον ἢ ἡμεῖς.» 4

---

ἵνα λυπῇς· εἰ δὲ μὴ ποιεῖς τοῦτο, ἀλλὰ λυπεῖς· ἀκούσῃ καὶ τλ.

— Ὑπερχ.) Ὑπέρχομαι τὸ ὑπὸ κάτω τινὸς ἔρχομαι· καὶ ἀπὸ τούτου κολακεύω· ὅθεν καὶ ὁ Σχολ. Ἀριστοφ. ἐν Ἱππ. στίχ. 269. Οἷον ὑπέρχεται· ὡς ὑπάγεται τὸν δῆμον ὑποτρέχων, καὶ κολακεύει.

— Βιώσει) οἷον· Βιώσει ὑπερχόμενος καὶ δουλεύων πάντας ἀνθρώπους.

8. Τί ποιῶν;) Καὶ διὰ τί ταῦτα; ἵνα τί κατορθώσῃς μέγα; ἢ ἵνα εὐωχῇ ἐν Θετταλίᾳ· καὶ κατὰ λέξιν. Τί ποιῶν βιοῖς ὑπερχόμενος καὶ δουλεύων, οὐδὲν ἄλλο ἢ εὐωχούμ.

10. Εἴπερ γέ τι ὀφελ.) Ἐάν τινες ὦσιν ἄνθρωποι εὔχρηστοι οἱ φάσκοντές σοι ἐπιτήδειοι εἶναι.

— Οἴεσθαι χρή) Ὅτι καὶ ἐὰν εἰς ᾍδου ἀποδημήσῃς, ἐπιμελήσονται τῶν παίδων σου.

ις΄. Ἀλλ᾽, ὦ Σώκ.) Μεταβατικὸς ὁ Ἀλλά.

— Περὶ πλείονος ποιοῦ) Προτίμα.

— Τοῖς ἐκεῖ ἄρχουσιν) Ὅρα Ἀπολ. λβ΄. 7.

3. Ἐὰν ἀπίῃς) Ἠδικημένος δηλ.

— Σαυτόν τε καὶ φίλ.) Ἐπεξήγησις τοῦ τούτους, οὓς ἥκιστα ἔδει κακὰ ἐργάσασθαι.

— Οἱ ἐν Ἅδου νόμοι) Οὗτοι γάρ εἰσιν οἱ ἀδελφοὶ τῶν ἐπὶ γῆς νόμων.

— Τὸ σὸν μέρος) Κατὰ τὸ σὸν μέρος· ὅσον ἀπὸ μέρους σου.

4. Μᾶλλον ἢ ἡμεῖς) Ἀλλὰ μή σε πείσῃ Κρίτων ποιεῖν ἐκεῖνα, ὅσα λέγει, μᾶλλον, ἢ ἡμεῖς πειθόμενοί σε ποιεῖν, ἃ λέγομεν.

*ιζ*. Ταῦτα, ὦ φίλε ἑταῖρε Κρίτων, εὖ ἴσθι ὅτι ἐγὼ δοκῶ ἀκούειν, ὥς περ οἱ κορυβαντιῶντες τῶν αὐλῶν δοκοῦσιν ἀκούειν· καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τούτων τῶν λόγων βομβεῖ, καὶ ποιεῖ μὴ δύ-
2 νασθαι τῶν ἄλλων ἀκούειν. Ἀλλὰ ἴσθι, ὅσα γε τὰ νῦν ἐμοὶ δοκοῦντα, ἐάν τι λέγῃς παρὰ ταῦτα, μάτην ἐρεῖς. Ὅμως μέντοι
3 εἴ τι οἴει πλέον ποιήσειν, λέγε. — Κρ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω λέγειν. — Σωκρ. Ἔα τοίνυν, ὦ Κρίτων· καὶ πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ Θεὸς ὑφηγεῖται.

## Δ΄. ΑΛΚΙΒΙΑΔΗΣ ΔΕΥΤΕΡΟΣ, Η ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ (*).

*ά*. Ὦ Ἀλκιβιάδη, ἆρά γε πρὸς τὸν Θεὸν προσευξόμενος πορεύῃ; — Ἀλκ. Πάνυ μὲν οὖν, ὦ Σώκρατες. — Σωκρ. Φαίνῃ γέ τι ἐσκυθρωπακέναι τε καὶ εἰς γῆν βλέπειν, ὥς τις συννοούμενος. —
2 Ἀλκ. Καὶ τί ἄν τις συννοοῖτο, ὦ Σώκρατες. — Σωκρ. Τὴν μεγίστην, ὦ Ἀλκιβιάδη, σύννοιαν, ὥς γέ μοι δοκεῖ. Ἐπεὶ, φέρε πρὸς Διὸς, οὐκ οἴει τοὺς Θεοὺς, ἃ τυγχάνομεν εὐχόμενοι καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ἐνίοτε τούτων τὰ μὲν διδόναι, τὰ δ' οὔ; καὶ ἔστιν οἷς μὲν αὐτῶν, ἔστι δὲ οἷς οὔ; — Ἀλκ. Πάνυ μὲν οὖν. — Σωκρ.
3 Οὐκοῦν δοκεῖ σοι πολλῆς προμηθείας γε προσδεῖσθαι, ὅπως μὴ λήσῃ τις αὑτὸν εὐχόμενος μεγάλα κακὰ, δοκῶν δ' ἀγαθά; εἰ δὲ Θεοὶ τύχωσιν ἐν ταύτῃ ὄντες τῇ ἕξει ἐν ᾗ διδόασιν αὐτοὶ ἅ τις
4 εὐχόμενος τυγχάνει; Ὥσπερ τὸν Οἰδίπουν αὐτίκα φασὶν εὔξασθαι χαλκῷ διελέσθαι τοὺς υἱεῖς τὰ πατρῷα· ἐξὸν αὐτῷ τῶν

---

*ιζ*. Οἱ κορυβαντιῶντες) Τίμαιος Γλωσσ. Πλατ. Κορυβαντιᾶν, παραμαίνεσθαι, καὶ ἐνθουσιαστικῶς κινεῖσθαι· ἀπὸ μεταφορᾶς δέ ἐστι τῶν Κορυβάντων· οὗτοι δὲ ἦσαν ἱερεῖς τῆς Ῥέας ἐν Φρυγίᾳ, οἵτινες ὠρχοῦντο ἔνθεοι γενόμενοι. Στράβ. Γ. ἐντεῦθεν κορυβαντιᾶν ἐστὶ τὸ νοσεῖν, καὶ κορυβαντιασμὸς, ἡ κατὰ φαντασίαν νόσος ἐλέγετο· ὅταν τὰ ὦτα ἐδέχουν ἀντηχεῖν τῷ τῶν αὐλῶν ἤχῳ· ἥτις νόσος ἐνομίζετο ἀπὸ τῶν Κορυβάντων ἔχειν τὴν ἀρχήν.

— Ἡ ἠχὴ) Ἀττικῶς ἀντὶ ἦχος.

2. Ὅμως μέντοι) Ἐκ παραλλήλου τὰ μόρια.

3. Οὐκ ἔχω λέγειν) Τὸ Ἔχω πρὸς ἀπαρέμφατον φερόμενον τὸ Δύναμαι σημαίνει.

— Ταύτῃ) Ἀντὶ Οὕτως· οὕτω γὰρ ὁ Θεὸς ὑφηγεῖται.

(*) Καλεῖται ὁ διάλογος οὗτος Ἀλκιβιάδης Δεύτερος· ὅτι καὶ ἕτερον συνέγραψε Πλάτων διάλογον Πρῶτον Ἀλκιβιάδην καλέσας· ἔνθα περὶ φύσεως διαλαμβάνει ἀνθρώπου, τὸν Σωκράτην μετὰ Ἀλκιβιάδου ὑποτιθεὶς διαλεγόμενον. Ὁ δὲ παρὼν Δεύτερος Ἀλκιβιάδης περὶ προσευχῆς καὶ θείων πραγμάτων διαλαμβάνει· τὸν Σωκράτην μετὰ Ἀλκιβιάδου ὑποτιθεὶς διαλεγόμενον περὶ τούτων· ἔνθα ποιεῖ Σωκράτης Ἀλκιβιάδην θείων πραγμάτων εὐμαθέστερον.

*ά*. Ὥς τις συννοούμενος) Ὥς τις σκεπτόμενος καί τι κατὰ νοῦν ἀναπολῶν.

2. Καὶ ἔστιν οἷς μὲν) Ἔστιν οἷς ἀντ' Ἐνίοις· οἷον· Καὶ ἐνίοις μὲν τῶν ἀνθρώπων διδόναι, ἐνίοις δὲ οὐ διδόναι.

4. Αὐτίκα) Ὡς ἐπὶ παραδείγματος εἰπεῖν.

— Διελέσθαι, τοὺς υἱεῖς) Λάϊος ἐξ Ἰοκάστης ἔσχεν υἱὸν, καὶ ἐπεὶ χρησμὸς ἦν ὑπὸ τούτου φονευθῆναι, διατρήσας τὰ σφυρὰ ἐκτίθησιν εἰς Κιθαιρῶνα· ἔνθα εὑρόντες βουκόλοι Πολύβου βασιλέως Κορινθίων, ἤνεγκαν Περιβοίᾳ τῇ γυναικὶ αὐτοῦ· ἡ δὲ, ἀνελοῦσα ὑποβάλλεται, καὶ θεραπεύσασα τὰ σφυρὰ, Οἰδίπουν καλεῖ. Οὗτος τελειωθεὶς μανθάνει παρὰ